ὡς παρὰ τοῖς νεωτέροις· μόνον γὰρ σπουδάζει τὸ βάρος περιτιθέναι τοῖς προςώποις, ἀκραῖον εἶναι κρίνων τουτὶ τὸ μέρος, μεγαλοπρεπές τε καὶ ἡρωϊκὸν, τὸ δὲ πανοῦργον, κομψοπρεπές τε καὶ γνωμολογικὸν, ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος· ὥςτε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προςώπων κωμῳδεῖται παρὰ Ἀριςοφάνους. Ἐν μὲν γὰρ τῇ Νιόβῃ, ἕως τρίτης ἡμέρας ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων, οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη· ἐν δὲ δὴ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. Τινὲς δέ φασιν, ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰςαγαγόντα τὸν χορὸν,

recentiores: dignitatem enim addere personis unice studet, summum hoc censens, magnificum et heroïcum; at vafrum, elegans et sententiosum a tragoedia alienum. Itaque quod affectata personarum gravitate abundet, comice ab Aristophane perstringitur. Quippe in tragoedia, quae Niobe inscribitur, ipsa Niobe usque ad diem tertium obnupto vultu sepulchro liberorum insidens nihil loquitur: quinetiam in Hectoris lutris Achilles similiter opertus nihil effatur, praeter pauca quaedam sub initio alternatim ad Mercurium. Referuntque nonnulli, dum Eumenidas exhibuerit, tumultuose ingre-